**ΑΝΘΟΛΟΓΙΟ ΚΕΙΜΕΝΩΝ**

**ΓΙΑ ΤΙΣ ΕΙΣΑΓΩΓΙΚΕΣ ΕΞΕΤΑΣΕΙΣ**

**ΣΤΟΝ Α΄ ΚΥΚΛΟ ΜΕΤΑΠΤΥΧΙΑΚΩΝ ΣΠΟΥΔΩΝ**

**(ακαδ. έτος 2022-2023)**

# Βυζαντινή και Μεσαιωνική Ιστορία

Τομέας Αρχαίας Ελληνικής και Ρωμαϊκής, Βυζαντινής και Μεσαιωνικής Ιστορίας
Τμήμα Ιστορίας και Αρχαιολογίας
Φιλοσοφική Σχολή ΑΠΘ

## 1.

## <u>Θεοδώρητος Κύρου, *Ἐκκλησιαστικὴ ἱστορία*</u>

Βλ. L. Parmentier (ed.), *Theodoret Kirchengeschichte*, κεφ. V, 17.1-18.4, σ. 306.22-309.19
Πρβλ. Α. Καρπόζηλος, *Βυζαντινοί ιστορικοί και χρονογράφοι*, τ. Α΄, σ. 192-195
(κείμ. - σχόλ.)

ΠΕΡΙ ΤΩΝ ΕΝ ΘΕΣΣΑΛΟΝΙΚΗΙ ΓΕΓΕΝΗΜΕΝΩΝ ΣΦΑΓΩΝ

*Θεσσαλονίκη πόλις ἐστὶ μεγίστη καὶ πολυάνθρωπος, εἰς μὲν τὸ Μακεδόνων ἔθνος τελοῦσα, ἡγουμένη δὲ καὶ Θετταλίας καὶ Ἀχαΐας καὶ μέντοι καὶ ἄλλων παμπόλλων ἐθνῶν ὅσα τῶν Ἰλλυρίων τὸν ὕπαρχον ἡγούμενον ἔχει. ἐν ταύτῃ στάσεως γενομένης τινὸς κατελεύσθησάν τε καὶ κατεσύρησαν τῶν ἀρχόντων τινές. ὁ δὲ βασιλεὺς ἐξαφθεὶς ὑπὸ τῶν ἀγγελθέντων οὐκ ἤνεγκε τοῦ θυμοῦ τὴν ὁρμὴν οὐδὲ τῷ χαλινῷ τοῦ λογισμοῦ τὴν τούτου ῥύμην ἐκώλυσεν, ἀλλὰ τούτῳ τὴν ψῆφον ἐξενεγκεῖν τῆς τιμωρίας ἐπέτρεψε. ταύτην δὲ τὴν ἐξουσίαν ἐκεῖνος λαβών, οἷα δὴ αὐτόνομός τε καὶ τύραννος τὸν δεσμὸν ἀπορρήξας καὶ τοῦ λογισμοῦ διαφυγὼν τὸν ζυγόν, ἄδικα ξίφη κατὰ πάντων ἐγύμνωσε καὶ τοὺς ἀθώους μετὰ τῶν ὑπευθύνων κατέκτεινεν. ἑπτὰ γάρ, ὥς φασιν, ἀνθρώπων ἀνῃρέθησαν χιλιάδες, οὐ κρίσεως ἡγησαμένης καὶ τῶν τὰ δεινὰ ἐκεῖνα τετολμηκότων κατακριθέντων, ἀλλ᾿ ὡς ἐν ἀμήτῳ πάντων ὁμοῦ δίκην ἀσταχύων κατατμηθέντων.*

*Ταύτην μαθὼν τὴν ὀδυρμῶν γέμουσαν συμφορὰν Ἀμβρόσιος ἐκεῖνος, οὗ πολλάκις ἐμνήσθην, ἀφικόμενον εἰς τὴν Μεδιόλανον τὸν βασιλέα καὶ συνήθως εἰς τὸν θεῖον εἰσελθεῖν βουληθέντα νεὼν ὑπαντήσας ἔξω τῶν προθύρων, ἐπιβῆναι τῶν ἱερῶν προπυλαίων τοιάδε λέγων ἐκώλυσεν· «οὐκ οἶσθα ὡς ἔοικεν, ὦ βασιλεῦ, τῆς εἰργασμένης μιαιφονίας τὸ μέγεθος, οὐδὲ μετὰ τὴν τοῦ θυμοῦ παῦλαν ὁ λογισμὸς ἐπέγνω τὸ τολμηθέν· οὐκ ἐᾷ γὰρ ἴσως τῆς βασιλείας ἡ δυναστεία ἐπιγνῶναι τὴν ἁμαρτίαν, ἀλλ᾿ ἐπιπροσθεῖ ἡ ἐξουσία τῷ λογισμῷ. χρὴ μέντοι εἰδέναι τὴν φύσιν καὶ τὸ ταύτης θνητόν τε καὶ διαρρέον καὶ τὸν πρόγονον χοῦν ἐξ οὗ γεγόναμεν καὶ εἰς ὃν ἀπορρέομεν, καὶ μὴ τῷ ἄνθει τῆς ἁλουργίδος ἀποβουκολούμενον ἀγνοεῖν τοῦ καλυπτομένου σώματος τὴν ἀσθένειαν. ὁμοφυῶν ἄρχεις, ὦ βασιλεῦ, καὶ μὲν δὴ καὶ ὁμοδούλων· εἷς γὰρ ἁπάντων δεσπότης καὶ βασιλεὺς ὁ τῶν ὅλων δημιουργός. ποίοις τοίνυν ὀφθαλμοῖς ὄψει τὸν τοῦ κοινοῦ δεσπότου νεών; ποίοις δὲ ποσὶ τὸ δάπεδον ἐκεῖνο πατήσεις τὸ ἅγιον; πῶς δὲ τὰς χεῖρας ἐκτενεῖς ἀποσταζούσας ἔτι τοῦ ἀδίκου φόνου τὸ αἷμα; πῶς δὲ τοιαύταις ὑποδέξῃ χερσὶ τοῦ δεσπότου τὸ πανάγιον σῶμα; πῶς δὲ τῷ στόματι προσοίσεις τὸ αἷμα τὸ τίμιον, τοσοῦτο*

*διὰ τῶν τοῦ θυμοῦ λόγων ἐκχέαντι παράνομον αἷμα; ἄπιθι τοίνυν, καὶ μὴ πειρῶ τοῖς δευτέροις τὴν προτέραν αὔξειν παρανομίαν καὶ δέχου τὸν δεσμόν, ᾧ ὁ θεὸς ὁ τῶν ὅλων δεσπότης ἄνωθεν γίγνεται σύμψηφος· ἰατρικὸς δὲ οὗτος καὶ πρόξενος ὑγείας.»*

------------------------------------

**2.**

**<u>Σωζομενός, *Ἐκκλησιαστικὴ ἱστορία*</u>**

Βλ. J. Bidez - G.C. Hansen (ed.), *Sozomenus Kirchengeschichte*, κεφ. II, 3.1-6, σ. 51.12-52.22
Πρβλ. Α. Καρπόζηλος, *Βυζαντινοί ιστορικοί και χρονογράφοι*, τ. Α΄, σ. 173-174
(κείμ. - σχόλ.)

ΩΣ ΒΑΣΙΛΕΥΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΤΟ ΠΑΛΑΙ ΒΥΖΑΝΤΙΟΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΟΛΙΝ ΕΠΩΝΟΜΑΣΕΝ

*Ὁ δὲ βασιλεὺς ἀεί τι πονῶν εἰς εὐσέβειαν συνετέλει καὶ πανταχοῦ περικαλλεστάτους ναοὺς ἀνίστη τῷ Χριστῷ, διαφερόντως δὲ ἐν ταῖς μητροπόλεσιν, ὡς ἐπὶ τῆς Νικομηδέων τῆς Βιθυνῶν καὶ Ἀντιοχείας τῆς παρὰ τὸν Ὀρόντην ποταμὸν καὶ ἐπὶ τῆς Βυζαντίων πόλεως, ἣν ἴσα Ῥώμῃ κρατεῖν καὶ κοινωνεῖν αὐτῇ τῆς ἀρχῆς κατεστήσατο. ἐπεὶ γὰρ κατὰ γνώμην αὐτῷ πάντα προὐχώρει, κατώρθωτο δὲ καὶ τὰ πρὸς τοὺς ἀλλοφύλους πολέμοις καὶ σπονδαῖς, ἔγνωκεν οἰκίσαι πόλιν ὁμώνυμον ἑαυτῷ καὶ τῇ Ῥώμῃ ὁμότιμον. καταλαβὼν δὲ τὸ πρὸ τοῦ Ἰλίου πεδίον παρὰ τὸν Ἑλλήσποντον ὑπὲρ τὸν Αἴαντος τάφον, οὗ δὴ λέγεται τὸνναύσταθμον καὶ τὰς σκηνὰς ἐσχηκέναι τοὺς ἐπὶ Τροίαν ποτὲστρατευσαμένους Ἀχαιούς, οἵαν ἐχρῆν καὶ ὅσην τὴν πόλιν διέγραψε· καὶ πύλας κατεσκεύασεν ἐν περιωπῇ, αἳ δὴ νῦν ἔτι ἀπὸ θαλάσσης φαίνονται τοῖς παραπλέουσι. ταῦτα δὲ αὐτῷ πονοῦντι νύκτωρ ἐπιφανεὶς ὁ θεὸς ἔχρησεν ἕτερον ἐπιζητεῖν τόπον. καὶ κινήσας αὐτὸν εἰς τὸ Βυζάντιον τῆς Θρᾴκης πέραν Χαλκηδόνος τῆς Βιθυνῶν, ταύτην αὐτῷ οἰκίζειν ἀπέφηνε πόλιν καὶ τῆς Κωνσταντίνου ἐπωνυμίας ἀξιοῦν. ὁ δὲ τοῖς τοῦ θεοῦ λόγοις πεισθεὶς τὴν πρὶν Βυζάντιον προσαγορευομένην εἰς εὐρυχωρίαν ἐκτείνας μεγίστοις τείχεσι περιέβαλεν. ἐπεὶ δὲ τοὺς αὐτόχθονας οὐχ ἱκανοὺς ἐνόμισεν εἶναι πολίτας τῷ μεγέθει τῆς πόλεως, μεγίστας οἰκίας ἀνὰ τὰς ἀγυιὰς σποράδην οἰκοδομήσας, ἄνδρας ἐν λόγῳ σὺν τοῖς οἰκείοις δεσπότας ποιήσας ἐν ταύταις κατῴκισε, τοὺς μὲν ἐκ τῆς πρεσβυτέρας Ῥώμης, τοὺς δὲ ἐξ ἑτέρων ἐθνῶν μετακαλεσάμενος. φόρους δὲ τάξας, τοὺς μὲν εἰς οἰκοδομὰς καὶ κάλλη τῆς πόλεως, τοὺς δὲ εἰς ἀποτροφὴν τῶν πολιτῶν, ἅπασί τε τοῖς ἄλλοις τὰ περὶ τὴν πόλιν διαθεὶς ἱπποδρόμῳ τε καὶ κρήναις καὶ στοαῖς καὶ λοιποῖς οἰκοδομήμασι φιλοτίμως κοσμήσας, Νέαν Ῥώμην Κωνσταντινούπολιν ὠνόμασε, καὶ βασιλίδα κατέστησε τῶν ὅσοι τὴν Ῥωμαίων ὑπήκοον γῆν οἰκοῦσι πρὸς ἄρκτον καὶ νότον καὶ ἥλιον ἀνίσχοντα καὶ τὰ ἐν μέσῳ πελάγη ἐκ τῶν περὶ τὸν Ἴστρον πόλεων καὶ*

*Ἐπιδάμνου τῶν <τε> πρὸς τῷ Ἰονίῳ κόλπῳ μέχρι Κυρήνης καὶ τῶν τῇδε Λιβύων παρὰ τὸ Βόρειον καλούμενον. βουλευτήριόν τε μέγα, ἣν σύγκλητον ὀνομάζουσιν, ἕτερον συνεστήσατο, τὰς αὐτὰς τάξας τιμὰς καὶ ἱερομηνίας, ᾗ καὶ Ῥωμαίοις τοῖς πρεσβυτέροις ἔθος. ἐν πᾶσι δὲ δεῖξαι σπουδάσας ἐφάμιλλον τῇ παρὰ Ἰταλοῖς Ῥώμῃ τὴν ὁμώνυμον αὐτῷ πόλιν οὐ διήμαρτεν. εἰς τοσοῦτον γάρ, σὺν θεῷ φάναι, ἐπέδωκεν, ὡς καὶ τοῖς σώμασι καὶ τοῖς χρήμασι μείζονα συνομολογεῖσθαι.*

------------------------------------------------

**3.**

**Προκόπιος, *Ὑπὲρ τῶν πολέμων (λόγοι)***

Βλ. J. Haury, *Procopii Caesariensis opera omnia I*, κεφ. 24, σ. 123.6-125.10

Πρβλ. Α. Καρπόζηλος, *Βυζαντινοί ιστορικοί και χρονογράφοι*, τ. Α΄, σ. 411-416 (κείμ. - σχόλ.)

Η ΣΤΑΣΙΣ ΤΟΥ ΝΙΚΑ

*Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους ἐν Βυζαντίῳ στάσις τῷ δήμῳ ἐκ τοῦ ἀπροσδοκήτου ἐνέπεσεν, ἣ μεγίστη τε παρὰ δόξαν ἐγένετο καὶ ἐς κακὸν μέγα τῷ τε δήμῳ καὶ τῇ βουλῇ ἐτελεύτησε τρόπῳ τοιῷδε. οἱ δῆμοι ἐν πόλει ἑκάστῃ ἔς τε Βενέτους ἐκ παλαιοῦ καὶ Πρασίνους διῄρηντο, οὐ πολὺς δὲ χρόνος ἐξ οὗ τούτων τε τῶν ὀνομάτων καὶ τῶν βάθρων ἕνεκα, οἷς δὴ θεώμενοι ἐφεστήκασι, τά τε χρήματα δαπανῶσι καὶ τὰ σώματα αἰκισμοῖς πικροτάτοις προΐενται καὶ θνήσκειν οὐκ ἀπαξιοῦσι θανάτῳ αἰσχίστῳ· μάχονται δὲ πρὸς τοὺς ἀντικαθισταμένους, οὔτε εἰδότες ὅτου αὐτοῖς ἕνεκα ὁ κίνδυνός ἐστιν, ἐξεπιστάμενοί τε ὡς, ἢν καὶ περιέσωνται τῶν δυσμενῶν τῇ μάχῃ, λελείψεται αὐτοῖς ἀπαχθῆναι μὲν αὐτίκα ἐς τὸ δεσμωτήριον, αἰκιζομένοις δὲ τὰ ἔσχατα εἶτα ἀπολωλέναι. φύεται μὲν οὖν αὐτοῖς τὸ ἐς τοὺς πέλας ἔχθος αἰτίαν οὐκ ἔχον, μένει δὲ ἀτελεύτητον ἐς τὸν πάντα αἰῶνα, οὔτε κήδει οὔτε ξυγγενείᾳ οὔτε φιλίας θεσμῷ εἶκον, ἢν καὶ ἀδελφοὶ ἢ ἄλλο τι τοιοῦτον οἱ ἐς τὰ χρώματα ταῦτα διάφοροι εἶεν. μέλει τε αὐτοῖς οὔτε θείων οὔτε ἀνθρωπείων πραγμάτων παρὰ τὸ ἐν τούτοις νικᾶν, ἤν τέ τι ἀσέβημα ἐς τὸν θεὸν ὑφ' ὁτουοῦν ἁμαρτάνηται ἤν τε οἱ νόμοι καὶ ἡ πολιτεία πρὸς τῶν οἰκείων ἢ τῶν πολεμίων βιάζωνται, ἐπεὶ καὶ τῶν ἐπιτηδείωνσπανίζοντες ἴσως κἀν τοῖς ἀναγκαιοτάτοις ἀδικουμένης αὐτοῖς τῆς πατρίδος, οὐπροσποιοῦνται, ἤν γε αὐτοῖς κεῖσθαι τὸ μέρος ἐν καλῷ μέλλῃ· οὕτω γὰρ τοὺς συστασιώτας καλοῦσι. μεταλαγχάνουσι δὲ τοῦ ἄγους τούτου καὶ γυναῖκες αὐτοῖς, οὐ τοῖς ἀνδράσιν ἑπόμεναι μόνον, ἀλλὰ καὶ τούτοις, ἂν οὕτω τύχοι, ἀντιστατοῦσαι, καίπερ οὔτε εἰς τὰ θέατρα τὸ παράπαν ἰοῦσαι οὔτε τῳ ἄλλῳ αἰτίῳ ἠγμέναι· ὥστε οὐκ ἔχω ἄλλο τι ἔγωγε τοῦτο εἰπεῖν ἢ ψυχῆς νόσημα. ταῦτα μὲν οὖν ταῖς τε πόλεσι καὶ δήμῳ ἑκάστῳ ὧδέ πη ἔχει.*

*Τότε δὲ ἡ ἀρχὴ, ἣ τῷ δήμῳ ἐφειστήκει ἐν Βυζαντίῳ, τῶν στασιωτῶν τινας τὴν ἐπὶ θανάτῳ ἀπῆγε. ξυμφρονήσαντες δὲ καὶ σπεισάμενοι πρὸς ἀλλήλους ἑκάτεροι τούς τε ἀγομένους ἁρπάζουσι καὶ ἐς τὸ δεσμωτήριον αὐτίκα ἐσβάντες ἀφιᾶσιν ἅπαντας ὅσοι*

*στάσεως ἢ ἑτέρου του ἁλόντες ἀτοπήματος ἐδέδεντο. καὶ οἱ μὲν ὑπηρέται, ὅσοι τῇ τῆς πόλεως ἀρχῇ ἕπονται, ἐκτείνοντο οὐδενὶ λόγῳ, τῶν δὲ πολιτῶν εἴ τι καθαρὸν ἦν ἐς τὴν ἀντιπέρας ἤπειρον ἔφευγον, καὶ τῇ πόλει πῦρ ἐπεφέρετο, ὡς δὴ ὑπὸ πολεμίοις γεγενημένῃ. καὶ τὸ ἱερὸν ἡ Σοφία τό τε βαλανεῖον ὁ Ζεύξιππος καὶ τῆς βασιλέως αὐλῆς τὰ ἐκ τῶν προπυλαίων ἄχρι ἐς τὸν Ἄρεως λεγόμενον οἶκον καυθέντα ἐφθάρη, ἐπὶ τούτοις τε ἄμφω αἱ μεγάλαι στοαὶ μέχρι τῆς ἀγορᾶς ἀνήκουσαι, ἣ Κωνσταντίνου ἐπώνυμός ἐστιν, εὐδαιμόνων τε ἀνθρώπων οἰκίαι πολλαὶ καὶ χρήματα μεγάλα. βασιλεὺς δὲ καὶ ἡ συνοικοῦσα καὶ τῶν ἀπὸ βουλῆς ἔνιοι καθείρξαντες σφᾶς αὐτοὺς ἐν παλατίῳ ἡσύχαζον. ξύμβολον δὲ ἀλλήλοις ἐδίδοσαν οἱ δῆμοι τὸ νίκα, καὶ ἀπ᾽ αὐτοῦ ἐς τόδε τοῦ χρόνου ἡ κατάστασις ἐκείνη προσαγορεύεται.*

-----------------------------------

## 4.

## **Θεοφύλακτος Σιμοκάττης, *Οἰκουμενικὴ ἱστορία***

Βλ. C. de Boor (ed.), *Theophylacti Simocattae historiae*, κεφ. VI, 3.9-4.8, σ. 225.23-227.6
Πρβλ. Α. Καρπόζηλος, *Βυζαντινοί ιστορικοί και χρονογράφοι*, τ. Α΄, σ. 495-497
(κείμ. - σχόλ.)

### ΠΕΡΙ ΤΩΝ ΣΛΑΒΙΚΩΝ ΕΠΙΔΡΟΜΩΝ ΕΠΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ ΜΑΥΡΙΚΙΟΥ

*Ὁ δὲ Χαγάνος ἐπενθήκας λαμβάνειν τὰς συνθήκας ἐξῄτει τὸν Καίσαρα. ἐπεὶ δὲ ὁ αὐτοκράτωρ τοῖς λόγοις τοῦ βαρβάρου ὤτων οὐκ ἐδίδου βαλβῖδα, ἀντελάμβανε παραυτίκα τὸν πόλεμον. καὶ οὖν ὁ Χαγάνος τοῖς Σκλαυηνοῖς προστάττει ἀκατίων πλήθη τεκταίνεσθαι, ὅπως πρὸς διάβασιν σχοίη τὸν Ἴστρον πειθήνιον. οἱ μὲν τῆς Σιγγηδόνος οἰκήτορες ἀθρόαις ἐφόδοις τισὶ τῶν Σκλαυηνῶν τοὺς πόνους ληΐζονται καὶ πυρὶ παρεδίδοσαν τὰ πρὸς ναυτιλίαν τούτων ἐπίχειρα. διά τοι τοῦτο πολιορκοῦσι τὴν Σιγγηδόνα οἱ βάρβαροι, ἡ δὲ πόλις ἐς τοὔσχατον ἀφικομένηκακοῦ ἰσχνὰς ἐπεφέρετο σωτηρίας ἐλπίδας. ἑβδόμη δὲ ἡμέρα, καὶ ὁ Χαγάνος τοῖς βαρβάροις προσέταττε τῆς πολιορκίας ἀπέχεσθαι γενέσθαι τε ὡς αὐτόν. ἐπεὶ δὲ τὸ βάρβαρον τούτων αὐτήκοον γέγονεν, ἀπολιμπάνει τὸ πόλισμα χρυσῶν δαρεικῶν χιλιάδας ἀπενεγκάμενον δύο τράπεζάν τε χρυσόπαστον καὶ στολήν. καὶ οὖν ὁ Χαγάνος παρασάγγας ποιησάμενος πέντε στρατοπεδεύεται ἀνὰ τὸ Σίρμιον πλήθη τε Σκλαυηνῶν ξυλουργεῖν παρεσκεύαζεν, ὅπως τὸν ποταμὸν τὸν λεγόμενον Σάον ναυτιλλόμενος διανήξηται. ὁ μὲν οὖν πρὸς τὴν ἐπιστρατείαν ἠπείγετο, οἱ δὲ σύνδρομον τῷ προστάγματι τὴν ναυτιλίαν παρείχοντο· τοιαῦτα γὰρ οἶδε τῶν ταττομένων ὁ φόβος ταξιαρχῶν ἀπεργάζεσθαι. ἐπακτρίδων γοῦν ἄρτι που τῷ βαρβάρῳ γενομένων τε καὶ προκειμένων, τὸν ἀγχίθυρον ποταμὸν διαπεραιοῦται τὸ βάρβαρον. ὁ μὲν οὖν Χαγάνος δυνάμεως συντάξας ἀποδασμὸν προθέειν ἐκέλευε καὶ φοβερὰν τὴν ἐντυχίαν τῆς ἐπιστασίας Ῥωμαίοις παρέχεσθαι. πέμπτη δὲ ἡμέρα, καὶ τῇ Βονωνίᾳ προσομιλεῖ. ὁ δὲ αὐτοκράτωρ στρατηγὸν χειροτονεῖ τῆς Εὐρώπης τὸν Πρίσκον αὐτοσχεδίῳ δυνάμει συμφράξας αὐτόν. ὁ μὲν οὖν Πρίσκος ὑποστράτηγον Σαλβιανὸν ποιησάμενος χιλίοις τε καθοπλίσας ἱππεῦσιν ἐκέλευε προκατασχεῖν τῶν ἐχυρωμάτων τὸ ἄσυλον. ὁ μὲν οὖν τῆς Προκλιανῆς τὰς διαβάσεις ἀγκαλισάμενος, χάρακα θέμενος ἐναυλίζεται, πεμπταῖός τε περαιτέρω τῶν ἐχυρωμάτων*

*γενόμενος συντυγχάνει τοῖς προθέουσι τῶν βαρβάρων. διαγνοὺς τοιγαροῦν οὐκ ἀξιόμαχον ἐπιφέρεσθαι δύναμιν πρὸς παράταξιν πρὸς τὴν τῶν ἐχυρωμάτων αὖθις ἀσφάλειαν τὴν καταφυγὴν ἐποιήσατο.*

---------------------------------------------

**5.**

**<u>Ανώνυμος, *Πασχάλιον χρονικόν*</u>**

Βλ. L. Dindorf (ed.), *Chronicon Paschale I*, σ. 716.9-717.22

Πρβλ. Α. Καρπόζηλος, *Βυζαντινοί ιστορικοί και χρονογράφοι*, τ. Α΄, σ. 603-607 (κείμ. - σχόλ.)

ΠΕΡΙ ΤΟΥ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΓΕΓΟΝΟΤΟΣ ΠΟΛΕΜΟΥ ΜΕΤΑΞΥ ΑΒΑΡΩΝ ΚΑΙ ΠΟΛΙΤΩΝ

*Καλὸν δὲ διηγήσασθαι ὅπως καὶ νῦν ὁ μόνος πολυέλεος καὶ εὔσπλαγχνος θεὸς τῇ εὐπροσδέκτῳ πρεσβείᾳ τῆς ἀχράντου αὐτοῦ μητρὸς καὶ κατὰ ἀλήθειαν δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τὴν ταπεινὴν ταύτην αὐτοῦ πόλιν ἔσωσεν ἐκ τῶν κατὰ συμφωνίαν κυκλωσάντων αὐτὴν παναθέων ἐχθρῶν τῇ κραταιᾷ αὐτοῦ χειρί, καὶ τὸν ἐν αὐτῇ εὑρεθέντα λαὸν ἐλυτρώσατο τῆς προσδοκωμένης μαχαίρας, αἰχμαλωσίας τε καὶ πικροτάτης δουλείας, ὃ οὐδεὶς τῶν πάντων εὐπορήσει διηγήσασθαι. ὁ γὰρ ἐπικατάρατος Σαλβάρας, ἔξαρχος τοῦ Περσικοῦ στρατοῦ, ἐκδεχόμενος, ὡς ἔοικεν, καὶ ἔργοις δὲ τελευταῖον ἀπεδείχθη, τὴν τοῦ παναθέου Χαγάνου τῶν Ἀβάρων ἐπέλευσιν, πρὸ πλείστων τούτων ἡμερῶν γενόμενος ἐν Χαλκηδόνι πάντα τά τε προάστεια καὶ παλάτια καὶ τοὺς εὐκτηρίους οἴκους ἀθέως ἐνέπρησεν, καὶ ἔμεινεν λοιπὸν τὴν ἐκείνου παρουσίαν ἐκδεχόμενος. τῇ οὖν κθ΄ τοῦ ἰουνίου μηνὸς τῆς παρούσης ιδ΄ ἰνδικτιῶνος, τουτέστιν τῇ ἡμέρᾳ τῆς συνάξεως τῶν ἁγίων καὶ ἐνδόξων κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου, κατέλαβε πρόκουρσον τοῦ θεομισήτου Χαγάνου, ὡς ἄχρι χιλιάδων τριάκοντα, διὰ δηλωμάτων φημίσαντος τό τε μακρὸν τεῖχος καταλαβεῖν καὶ τὰ ἔνδον αὐτοῦ, ὥστε τοὺς εὑρεθέντας ἔξωθεν τῆς πόλεως ἐφίππους γενναιοτάτους στρατιώτας κατὰ τὴν αὐτὴν ἡμέραν, κυριακὴν οὖσαν, ἔνδον γενέσθαι τοῦ νέου Θεοδοσιακοῦ τείχους ταύτης τῆς βασιλίδος πόλεως, καὶ ἔμεινεν τὸ αὐτὸ πρόκουρσον ἐπὶ τὰ μέρη Μελαντιάδος, ὀλίγων ἐξ αὐτῶν ἐκτρεχόντων μέχρι τοῦ τείχους ἐκ διαλειμμάτων, καὶ μὴ συγχωρούντων τινὰ ἐξιέναι ἢ ὅλως ἀλόγων δαπάνας συλλέγειν. ἐν τῷ μέσῳ δὲ ἄχρις ἡμερῶν δέκα ἐφεξῆς διαδραμουσῶν, καὶ μηδενὸς τῶν ἐχθρῶν σύνεγγυς τοῦ τείχους φανέντος, ἐξῆλθαν στρατιῶται μετὰ παλλικαρίων καὶ πολιτῶν, ὀφείλοντες ὡς ἀπὸ δέκα μιλίων θερίσαι ὀλίγα γεννήματα, καὶ συνέβη ἀπαντηθῆναι αὐτοῖς τοὺς ἐχθροὺς καὶ ἔνθεν κἀκεῖθέν τινας*

*διαπεσεῖν, συσχεθῆναι δὲ καί τινας ἐκ τῶν παλλικαρίων, τῶν στρατιωτῶν καὶ τῶν πολιτῶν τῶν ἐξελθόντων σὺν αὐτοῖς. εἰ μὴ γὰρ συνέβη τοὺς στρατιώτας περισπασθῆναι εἰς τὸ ἐκδικῆσαι τὰ ἴδια παλλικάρια καὶ τοὺς πολίτας, ἱκανοὶ ἐφονεύοντο ἐκ τῶν ἐχθρῶν κατ᾽ ἐκείνην τὴν ἡμέραν.*

------------------------------------------

**6.**

**<u>Θεοφάνης Ομολογητής, *Χρονογραφία*</u>**

Βλ. C. de Boor (ed.), *Theophanis chronographia*, 404.18-405.25

Πρβλ. Α. Καρπόζηλος, *Βυζαντινοί ιστορικοί και χρονογράφοι*, τ. Β΄, σ. 165-166 (κείμ. - σχόλ.)

Η ΑΝΑΙΡΕΣΙΣ ΤΗΣ ΔΕΣΠΟΤΙΚΗΣ ΕΙΚΟΝΟΣ ΤΟΥ ΧΡΙΣΤΟΥ, ΤΗΣ ΙΔΡΥΜΕΝΗΣ ΥΠΕΡΘΕΝ ΤΗΣ ΧΑΛΚΗΣ ΠΥΛΗΣ

*Ἐν αὐτῷ δὲ τῷ ἔτει, ἰνδικτιῶνος θ΄, ὥρᾳ θέρους, ἀτμὶς ὡς ἐκ καμίνου πυρὸς ἀνέβρασεν ἀναμέσον Θήρας καὶ Θηρασίας τῶν νήσων ἐκ τοῦ βυθοῦ τῆς θαλάσσης ἐπὶ ἡμέρας τινάς, καὶ κατὰ βραχὺ παχυνομένη καὶ ἀπολιθουμένη τῇ ἐξάψει τῆς πυρώδους ἐκκαύσεως, ὅλος ὁ καπνὸς πυροφανὴς ἐδείκνυτο. τῇ δὲ παχύτητι τῆς γεώδους οὐσίας πετροκισσήρους μεγάλους ὡς λόφους τινὰς ἀνέπεμψε καθ᾽ ὅλης τῆς μικρᾶς Ἀσίας καὶ Λέσβου καὶ Ἀβύδου καὶ τῆς πρὸς θάλασσαν Μακεδονίας, ὡς ἅπαν τὸ πρόσωπον τῆς θαλάσσης ταύτης κισσήρων ἐπιπολαζόντων γέμειν· μέσον δὲ τοῦ τηλικούτου πυρὸς νῆσος ἀπογεωθεῖσα τῇ λεγομένῃ Ἱερᾷ νήσῳ συνήφθη, μήπω τὸ πρὶν οὖσα, ἀλλ᾽ ὡς αἱ προρρηθεῖσαι νῆσοι, Θήρα τε καὶ Θηρασία ποτὲ ἐξεβράσθησαν, οὕτω καὶ αὕτη νῦν ἐπὶ τῶν χρόνων τοῦ θεομάχου Λέοντος. ὃς τὴν κατ᾽ αὐτοῦ θείαν ὀργὴν ὑπὲρ ἑαυτοῦ λογισάμενος ἀναιδέστερον κατὰ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων ἤγειρε πόλεμον, σύμμαχον ἔχων Βησὴρ τὸν ἀρνησίθεον καὶ τῆς ἴσης ἀλογίας ἐφάμιλλον. ἄμφω γὰρ ἀπαιδευσίας ἦσαν ἔμπλεοι καὶ πάσης ἀμαθίας, ἐξ ἧς τὰ πολλὰ τῶν κακῶν ἔρχεται. οἱ δὲ κατὰ τὴν βασιλίδα πόλιν ὄχλοι σφόδρα λυπούμενοι ἐπὶ ταῖς καιναῖς διδασκαλίαις αὐτῷ τε ἐμελέτων ἐπελθεῖν καί τινας βασιλικοὺς ἀνθρώπους ἀνεῖλον καθελόντας τὴν τοῦ κυρίου εἰκόνα τὴν ἐπὶ τῆς μεγάλης Χαλκῆς πύλης, ὡς πολλοὺς αὐτῶν ὑπὲρ τῆς εὐσεβείας τιμωρηθῆναι μελῶν ἐκκοπαῖς καὶ μάστιξι καὶ ἐξορίαις καὶ ζημίαις, μάλιστα δὲ τοὺς εὐγενείᾳ καὶ λόγῳ διαφανεῖς· ὥστε καὶ τὰ παιδευτήρια σβεσθῆναι καὶ τὴν εὐσεβῆ παίδευσιν τὴν ἀπὸ τοῦ ἐν ἁγίοις Κωνσταντίνου τοῦ μεγάλου καὶ μέχρι νῦν κρατήσασαν, ἧς καὶ μετὰ ἄλλων πολλῶν καλῶν καθαιρέτης ὁ σαρακηνόφρων οὗτος Λέων γέγονεν. ἐν τούτοις οὖν θείῳ κινούμενοι ζήλῳ στασιάζουσι κατ᾽ αὐτοῦ μεγάλῃ ναυμαχίᾳ*

*συμφωνήσαντες Ἑλλαδικοί τε καὶ οἱ τῶν Κυκλάδων νήσων Κοσμᾶν τινα συνεπόμενον ἔχοντες εἰς τὸ στεφθῆναι, Ἀγαλλιανὸς δέ, τουρμάρχης τῶν Ἑλλαδικῶν, ἡγεῖτο τῆς στρατιᾶς, καὶ Στέφανος· οἳ καὶ προσπελάσαντες τῇ βασιλίδι πόλει ιη´ τοῦ Ἀπριλλίου μηνὸς τῆς ι´ ἰνδικτιῶνος ἡττῶνται συμβαλόντες τοῖς Βυζαντίοις, ἐμπρησθέντων αὐτῶν τῶν νηῶν τῷ σκευαστῷ πυρί. καὶ οἱ μὲν βυθίζονται περὶ τὸν λάκκον, ἐν οἷς καὶ Ἀγαλλιανὸς ἔνοπλον ἑαυτὸν ἐπόντωσεν, οἱ δὲ ζῶντες τῷ κρατοῦντι προσρύονται. καὶ ἀποτέμνονται τὰς κεφαλὰς Κοσμᾶς τε καὶ Στέφανος, αὔξει δὲ τῇ κακίᾳ Λέων ὁ δυσσεβὴς καὶ οἱ τούτου σύμφρονες τὸν κατὰ τῆς εὐσεβείας διωγμὸν ἐπιτείνοντες.*

-----------------------------------

## 7.
## <u>Scriptor Incertus</u>

Βλ. F. Iadevaia (ed.), *Scriptor incertus*, Messina 1987, σ. 27.1-30.89, 32.140-157. – I. Dujčev, La chronique byzantine de l'an 811, *Travaux et mémoires* 1 (1965) 205-254
Πρβλ. Α. Καρπόζηλος, *Βυζαντινοί ιστορικοί και χρονογράφοι*, τ. Β΄, σ. 201-203 (κείμ. - σχόλ.)

ΠΕΡΙ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΚΑΙ ΠΩΣ ΑΦΙΗΣΙΝ ΤΑ ΚΩΛΑ ΕΝ ΒΟΥΛΓΑΡΙᾼ

*Ἐν τῷ θ΄ ἔτει τῆς βασιλείας Νικηφόρου τοῦ βασιλέως, οὗτος αὐτὸς Νικηφόρος ὁ βασιλεὺς εἰσῆλθεν εἰς Βουλγαρίαν, βουλόμενος αὐτήν, ὡς ᾤετο, ἀφανίσαι, ἄρας μεθ' ἑαυτοῦ Σταυράκιον τὸν υἱὸν αὐτοῦ καὶ Μιχαὴλ τὸν γαμβρὸν αὐτοῦ, τὸν καὶ Ῥαγγαβὲ ἐπονομαζόμενον, καὶ πάντας τοὺς πατρικίους καὶ ἄρχοντας καὶ ἀξιωματικούς, καὶ ὅλα τὰ τάγματα, καὶ τῶν ἀρχόντων τὰ τέκνα ἀπὸ δεκαπέντε τυγχάνοντα ἐτῶν καὶ ἐπάνω· οὓς καὶ ἐποίησεν ἑταιρείαν τοῦ υἱοῦ αὐτοῦ, ἐπονομάσας αὐτοὺς Ἰκανάτους.*

*Εἰσερχομένου δὲ αὐτοῦ εἰς τὰς κλεισούρας, ἀκούσαντες οἱ Βούλγαροι τὸ πλῆθος τοῦ λαοῦ ὅπερ ἐπεφέροντο, ὡς δῆθεν μὴ δυνάμενοι ἀντιστῆναι, καταλιπόντες πάντα ἅπερ εἶχον, ἔφυγον εἰς τὰ ὄρη. Αὐτὸς δὲ εἰσελθὼν ἐσκήνωσεν εἰς τὴν αὐλὴν τοῦ πρώτου τῆς Βουλγαρίας, ὀνόματι Κρούμου, καὶ εὑρών τινα στρατὸν τῶν Βουλγάρων ἐπιλέκτων ἐνωπλισμένων, ἀπομεινάντων πρὸς φυλακὴν τοῦ τόπου, ἕως δώδεκα χιλιάδας, συμβαλὼν μετ' αὐτῶν πόλεμον, πάντας ἀπέκτεινεν· ὁμοίως δὲ πάλιν καὶ ἄλλας πεντήκοντα χιλιάδας συναντήσαντας αὐτῷ, συμπλακεὶς αὐτοῖς, πάντας ἀπώλεσεν.*

*Λοιπὸν οὖν ἐπαρθεὶς τῷ φρονήματι καὶ τῇ καρδίᾳ ὁ ταλαίπωρος, ὡς ἤδη διὰ τὰς δικαιοσύνας αὐτοῦ τοῦτο πεποιηκὼς ὃ δὴ καὶ ἔλεγε πρὸς τοὺς σὺν αὐτῷ ὄντας· «ἰδού», ἔφη, «ἡ δικαιοσύνη τί κατεργάζεται». Εἰσελθὼν τοίνυν εἰς τὴν αὐλὴν τοῦ Κρούμου, ἐρευνήσας τὰ ταμιεῖα αὐτοῦ καὶ εὑρὼν σκῦλα πλεῖστα, ἤρξατο διαμερίζειν τῷ λαῷ αὐτοῦ*

*ἐν καταγραφῇ χαλκόν τε καὶ ἐσθῆτας καὶ ἄλλα τινὰ εἴδη διάφορα, ἀνοίξας τε τὰς ἀποθήκας τῶν οἴνων αὐτοῦ, διένειμε πᾶσι τοῖς αὐτοῦ, ὥστε πιεῖν εἰς κόρον. Καὶ ἀνελθὼν εἰς τὰ ἄμφοδα τῆς αὐλῆς, διακινῶν εἰς τὰ ἡλιακὰ τῶν οἰκημάτων, ἠγάλλετο καὶ ἔλεγεν· «ἰδού, ταῦτα πάντα ὁ Θεὸς παρέδωκέν μοι, καὶ βούλομαι κτίσαι ἐνταῦθα πόλιν ἐπὶ τῷ ὀνόματί μου, ἵνα γίνωμαι ὀνομαστὸς εἰς πάσας τὰς ἔμπροσθεν γενεάς». Καὶ ποιήσας ἡμέρας τινάς, ἐξῆλθεν ἐκ τῆς αὐλῆς τοῦ ἀθέου Κρούμου, καὶ ἐξερχόμενος ἐνεπύρισε τὰ οἰκήματα πάντα σὺν τῷ περικλείσματι ἐκ ξύλων συγκειμένων. Καὶ λοιπὸν μηκέτι φροντίσας τοῦ ἐξελθεῖν διὰ τάχους, διήρχετο διὰ μέσου τῆς Βουλγαρίας, βουλόμενος ἀπελθεῖν ἕως Σαρδικῆς, νομίσας ὅτι ἐξήλειψεν πᾶσαν τὴν Βουλγαρίαν. Καὶ ποιήσας ἡμέρας ιε΄ ἠλόγησε τῶν κατ᾽ αὐτοῦ πραγμάτων παντελῶς καὶ τραπεὶς τὰς φρένας καὶ δίκην ἐξεστηκότος γεγονώς, οὐκ ἔτι ἦν ἐν ἑαυτῷ, ἀλλ᾽ ἦν πεφυρμένος διὰ παντός, κατεχόμενος τῷ κάρῳ τῆς ἀλαζονείας, καὶ μὴ ἐξερχόμενος ἐκ τῆς σκηνῆς αὐτοῦ, μηδὲ διδούς τινι λόγον ἢ διαταγήν. Καί τινων καταβοώντων αὐτοῦ καὶ τὸν υἱὸν αὐτοῦ ἀποστειλάντων τοῦ λαλῆσαι αὐτῷ περὶ τοῦ ἐξελθεῖν ἐκεῖθεν, οὐδ᾽ ὅλως προσέσχεν, ἀλλὰ μᾶλλον καὶ ἠτίμασε τὸν υἱὸν αὐτοῦ, βουλόμενος αὐτὸν καὶ τύψαι. Ὁ οὖν λαὸς εὑρὼν εὐκαιρίαν ἐπραίδευεν ἀφειδῶς, ἐμπυρίζων τὰς χώρας ἀθερίστους οὔσας, καὶ νευροκοποῦντες τοὺς βόας καὶ λώρους ἐκ τῶν ψυῶν αὐτῶν ἀποσπῶντες, βοῶντα τὰ ζῶα φωνῇ μεγάλῃ καὶ ἀποσπαίροντα, καὶ τὰ πρόβατα κατασφάττοντες, καὶ τοὺς χοίρους καὶ ἃ μὴ θέμις πράττοντες. Λοιπὸν οὖν ἰδόντες τὸ ἀδιάτακτον καὶ ἀσύστατον τοῦ Νικηφόρου τινὲς καὶ ὅτι οὐδεὶς τολμᾷ αὐτῷ λαλῆσαι, κατὰ μικρὸν ἤρξαντο ἀποδιδράσκειν καὶ διὰ μηχανῆς τινος ἐξέρχεσθαι.*

*Ἦσαν δὲ οἱ Βούλγαροι φραγμὸν πεποιηκότες φοβερὸν καὶ δυσδιέξοδον ἀπὸ ξύλων μεγάλων δίκην τείχους. Λαβόντες οὖν οἱ Βούλγαροι εὐκαιρίαν καὶ θεασάμενοι ἐκ τῶν ὀρέων ὅτι περιεφέροντο πλανώμενοι, μισθωσάμενοι Ἀβάρους καὶ τὰς πέριξ Σκλαβηνίας, καὶ τὰς γυναῖκας ἀνδρικῶς καθοπλίσαντες, τῇ ιε΄ ἡμέρᾳ τῆς εἰσόδου αὐτῶν, διαφαύοντος σαββάτου, εἰκάδι τρίτῃ τοῦ Ἰουλίου μηνός, ἐπέπεσον αὐτοῖς ἔτι κοιμωμένοις σχεδόν, οἵτινες διαναστάντες καὶ σπουδῇ καθοπλισάμενοι ἤρξαντο τῆς μάχη· καὶ ἐπειδὴ ἦσαν μακρὰν ἀπ᾽ ἀλλήλων διεσκηνωμένα τὰ θέματα, εὐθέως οὐκ ἔγνωσαν τὸ συμβάν· μόνον γὰρ εἰς τὸ βασιλικὸν φοσσάτον ἐπέπεσον καὶ λοιπὸν ἤρξαντο κόπτεσθαι· καὶ μικρὸν ἀντισταθέντων αὐτῶν καὶ μηδὲν ἰσχυσάντων, ἀλλὰ σφόδρα κατασφαζομένων, ἰδόντες οἱ λοιποὶ ἔδωκαν ἑαυτοὺς εἰς τροπήν.*

………………………………………...

*Ἐν αὐτῇ οὖν τῇ ἡμέρᾳ καὶ Νικηφόρος ὁ βασιλεὺς ἀνῃρέθη μέσον τοῦ πρώτου πολέμου, τὸν τρόπον τοῦ θανάτου αὐτοῦ μὴ δυνηθέντος τινὸς ἀπαγγεῖλαι. Ἐπλήγη τε καὶ ὁ υἱὸς αὐτοῦ Σταυράκιος καιρίαν πληγὴν λαβὼν εἰς τοὺς σπονδύλους τῆς ῥάχεως, ἐξ ἧς καὶ ἐτελεύτησεν, μῆνας δύο μόνους βασιλεύσας Ῥωμαίων, πολλοί τε τῶν ζωγρηθέντων Ῥωμαίων μετὰ τὸ καταλυθῆναι τὸν πόλεμον ἠναγκάσθησαν ὑπὸ τῶν ἀθέων Βουλγάρων, [οὔπω τότε βαπτισθέντων], ἀρνήσασθαι τὸν Χριστὸν καὶ τῆς ἐθνικῆς καὶ Σκυθικῆς πλάνης μεταλαβεῖν· οἵτινες τῇ τοῦ Χριστοῦ ἐνισχυθέντες δυνάμει πᾶσαν ὑπομείναντες αἰκίαν, τὸν μαρτυρικὸν στέφανον ποικίλαις κολάσεσιν ἀνεδήσαντο. Οὕτω Νικηφόρος ὁ βασιλεὺς ἐξ ἀβουλίας καὶ ἀλαζονείας ἑαυτόν τε καὶ πᾶσαν τὴν τῶν Ῥωμαίων ἰσχὺν ἀπώλεσεν, βασιλεύσας ἔτη η΄ καὶ μῆνας ἑπτά.*

-----------------------------------

**8.**

***(Συνέχεια Θεοφάνη)***

***Ἱστορικὴ διήγησις τοῦ βίου καὶ τῶν πράξεων τοῦ ἀοιδίμου βασιλέως***

Βλ. I. Bekker (ed.), *Theophanes Continuatus, Ioannes Cameniata, Symeon Magister, Georgius Monachus*, βιβλ. Ε΄, κεφ. 27-28, σ. 253.1-255.14

Πρβλ. Α. Καρπόζηλος, *Βυζαντινοί ιστορικοί και χρονογράφοι*, τ. Β΄, σ. 380-384 (κείμ. - σχόλ.)

ΟΤΙ Ο ΒΑΣΙΛΕΥΣ ΜΙΧΑΗΛ ΚΑΘ’ ΕΑΥΤΟΥ ΤΑ ΞΙΦΗ ΗΚΟΝΗΣΕ

*Ἤδη δὲ πάντων σχεδὸν τῶν ἀποθέτων χρημάτων ἐπιλειπόντων, ἐν τοῖς τοιούτοις ἀναλωθέντων αὐτῶν, ἀνάγκη ἐπήρτητο τοὺς ἐν τέλει πάντας φανερῶς ἀποσφάττεσθαι καὶ δημεύεσθαι τὰς οὐσίας αὐτῶν, ἵν’ ἔχοι πόρον ὁ βασιλεὺς ἡνιόχοις καὶ πόρναις καὶ ἀσελγέσιν ἀνθρώποις χαρίζεσθαι. ἑβδομήκοντα γὰρ καὶ ἐννακόσια κεντηνάρια κεχαραγμένου χρυσοῦ, χωρὶς ἀργύρου τοῦ τε ἀσήμου καὶ ἐπισήμου, καταλιπόντος Θεοφίλου τοῦ πατρὸς αὐτοῦ ἐν τῷ φύλακι τηρούμενα τῷ βασιλικῷ, ἔτι δὲ καὶ Θεοδώρας τῆς τούτου μητρὸς ἄλλα προσθείσης τριάκοντα καὶ ἀπαρτισάσης τὸν χίλια τῶν κεντηναρίων ἀριθμόν, ἐν οὐδὲ ὅλοις τεσσαρεσκαίδεκα χρόνοις, ἀφ’ οὗ τὴν τῶν ὅλων ἐξουσίαν οὗτος ἐδέξατο, πάντα διεφόρησε καὶ ἀνάλωσεν, ὡς μηδὲν ἕτερον μετὰ τὸν αὐτοῦ θάνατον εὑρεθῆναι πλὴν τρία καὶ μόνα κεντηνάρια. καὶ πῶς δὲ οὐκ ἔμελλον ἐπιλιπεῖν, κἂν ἐκ ποταμῶν ἐπέρρει, οὕτως ἀσελγῶς καὶ ἀσώτως διασκιδνάμενα; ἡνιόχου γάρ ποτε παιδίον δεξάμενος τοῦ οὕτω καλουμένου Χειλᾶ ὁλόκληρον αὐτῷ κεντηνάριον ἐδωρήσατο. ἀλλὰ καὶ τῷ πατρικίῳ Ἡμερίῳ, ὃν Χοῖρον αὐτὸς μὲν ὁ βασιλεὺς διὰ τὴν τῆς ὄψεως ὠνόμαζεν ἀγριότητα, διὰ δὲ τὸ χοιρῶδες τοῦ βίου μᾶλλον καὶ ῥυπαρὸν ἄξιος ἦν τῆς τοιαύτης προσρήσεως, τούτῳ τοίνυν αἰσχρολογοῦντί ποτε κατενώπιον αὐτοῦ καὶ ταῖς ἀπὸ σκηνῆς φλυαρίαις καταχρωμένῳ, ἔκ τε τοῦ παντελῶς ἀπερυθριᾶσαι καὶ μηδὲν τῶν ἐπονειδίστων ὀκνῆσαι καὶ ψόφον ἀκόλαστον ἀπὸ τῆς μιαρᾶς ἀφέντος γαστρός, οὕτω βαρὺν καὶ σφοδρῶς καταιγίζοντα ὥστε καὶ τὸ φαῖνον φατλίον ἀποσβεσθῆναι, πεντήκοντα λιτρῶν ἐπιδόσει ἐτίμησεν ὡς Ἡράκλειόν τινα τοῦτον ἆθλον ἀνύσαντι. καὶ πρὸς τοὺς ἄλλους δὲ τῶν ὁμοίων αὐτῷ οὕτως ὑπέρμετροι αἱ δόσεις ἦσαν αὐτοῦ. ταῦτα δὲ εἰ μὲν εἰς στρατιώτας καὶ προμάχους καὶ ἀριστεῖς ἢ εἰς τοὺς ἐπ’ ἄλλῳ τινὶ τῶν ἀγαθῶν διαφέροντας ἑτοίμως οὕτως προΐετο, μεγαλοψυχίας ἄν τις καὶ ἐλευθεριότητος καὶ τρόπου φιλοτίμου ἐνόμισε σύμβολα· ὅτε δὲ εἰς μίμους καὶ ἡνιόχους καὶ ὀρχηστὰς καὶ βωμολόχους καὶ*

*κόλακας καὶ βδελυρίας ἁπάσης μεστοὺς ἀφρόνως διεσκορπίζετο, εἰς δέ τι τῶν σπουδαίων προῄει οὐδ' ὀβολός, ἀσωτίας πάντως καὶ παροινίας καὶ ἐμπληξίας λογίσαιτ' ἄν τις εἶναι τεκμήρια. καὶ τούτων ἐπιλειπόντων ἤδη ἀνάγκη ἦν, ὥσπερ εἴρηται, καὶ ναοὺς περισυλᾶσθαι καὶ εὐαγεῖς οἴκους αἰχμαλωτίζεσθαι καὶ πάντας τοὺς πλέον τῶν ἄλλων κεκτημένους εἰς χρήματα ἀναιρεῖσθαι καὶ ἀποσφάττεσθαι. δι' ἃ δὴ πάντα συμφρονήσαντες τῶν ἐν τέλει οἱ δοκιμώτατοι καὶ τὸ ἔμφρον τῆς συγκλήτου βουλῆς, διὰ τῶν προκοιτούντων τοῖς βασιλεῦσι στρατιωτῶν, ἐν τοῖς παλατίοις τοῦ ἁγίου μάρτυρος Μάμαντος ἀναιροῦσιν αὐτόν, ἐκ τῆς ἄγαν οἰνοφλυγίας ἀνεπαισθήτως τὸν ὕπνον τῷ θανάτῳ συνάψαντα. ὥσπερ γὰρ τοὺς σκορπίους καὶ ἔχεις μόνον ἰδόντες καὶ πρὶν ἢ τρῶσαι ἀναιροῦσιν οἱ ἄνθρωποι διὰ τὴν ἐνυπάρχουσαν αὐτοῖς κακίαν, οὕτω καὶ τῶν ἀνδρῶν τοὺς ἰώδεις καὶ φονικοὺς πρὸ τοῦ τρῶσαι καὶ ἀνελεῖν σπουδάζουσιν ἀποκτεῖναι οἱ ἐκ τούτων προσδοκῶντες τὸν κίνδυνον. καὶ οὗτος μὲν οὕτω βιούς, αἰσχρῶς τε καὶ ὀλεθρίως ἑαυτῷ καὶ τοῖς πράγμασι, τοιοῦτον καὶ τὸ τέλος ἐδέξατο, τῶν προβεβιωμένων ἐπάξιον.*

*Προάγεται δὲ εὐθὺς ἐπὶ τὴν πάντων ἀρχὴν ὁ μέχρι τοῦδε δευτερεύων ταύτης Βασίλειος, καὶ παρά τε τῆς ἐντίμου βουλῆς καὶ τῶν ὑποβεβηκότων ταγμάτων καὶ παντὸς τοῦ στρατεύματος καὶ τοῦ ὄχλου τοῦ ἀστικοῦ ὁ καὶ πρὸ τούτου δι' ἱκετηρικῶν εὐχῶν ἐπιζητούμενος ἀναγορεύεται αὐτοκράτωρ Βασίλειος. ὃς ἅμα τῷ παρελθεῖν ἐπὶ τὴν τῶν ὅλων ἀρχὴν καὶ ἑαυτὸν καὶ τὰς τοῦ κράτους ἡνίας θεῷ ἀνατέθεικεν, εὐξάμενος ἐπὶ λέξεως τάδε «Χριστὲ βασιλεῦ, τῇ σῇ κρίσει τὴν βασιλείαν δεξάμενος σοὶ καὶ ταύτην καὶ ἐμαυτὸν ἀνατίθημι».*

----------------------------------

**9.**

**<u>Ψευδοσυμεών, *Χρονογραφία*</u>**

Βλ. I. Bekker (έκδ.), *Theophanes Continuatus, Ioannes Cameniata, Symeon Magister, Georgius Monachus* [CSHB], Bonnae 1838 (Ψευδοσυμεών, σ. 603-760), σ. 619.3-620.6. Πρβλ. Καρπόζηλος, *Βυζαντινοί Ιστορικοί και* χρονογράφοι, τ. Β΄, σ. 437 (κείμ.-σχόλ.)

## ΦΟΝΟΣ ΛΕΟΝΤΟΣ ΤΟΥ ΑΡΜΕΝΙΟΥ

**14.** Ὅμως τὸν Μιχαὴλ εἱρκτὴ καὶ δεσμὰ εἶχον· καὶ ἐπεὶ ἐβούλετο αὐτὸν μετὰ τὴν ἑορτὴν τῶν Χριστοῦ γέννων ἀνελεῖν, δηλοῖ ὁ Μιχαὴλ τοῖς συμβούλοις, μεθ' ὧν ἦν καὶ ὁ τοῦ παλατίου παπίας, ὡς εἰ μὴ σπουδάσητε ἐξελεῖν με τῆς φρουρᾶς, πάντας ἡμᾶς καταμηνύω τῷ βασιλεῖ. οἱ δὲ συναχθέντες καὶ φελόνια ὡς [C] ἱερεῖς φορέσαντες, καὶ ἔνδοθεν τὰ ξίφη φοροῦντες, ἐπεὶ τὸ παλάτιον ἀνεῴχθη καὶ ὁ βασιλεὺς εἰς τὸν ναὸν εἰσῆλθεν, αὐτοὶ εἰσπηδήσαντες τοῦτον μεληδὸν κατέκοψαν καὶ τὸ σῶμα αὐτοῦ ἐν τῇ Πρώτῃ νήσῳ ἔχωσαν. καὶ αὐτῇ τῇ ὥρᾳ λύουσι τῶν δεσμῶν τὸν Μιχαήλ, καὶ εἰσάγουσιν ἐν τῇ ἑορτῇ ἀντὶ δεσμοφόρου στεφηφόρον. καὶ ἐπληρώθη τὸ προφητικὸν τὸ "ἑσπέρας αὐλισθήσεται κλαυθμός, καὶ εἰς τὸ πρωΐ ἀγαλλίασις." τήν τε γαμετὴν αὐτοῦ ἐν τῇ τῶν Δεσποτῶν μονῇ ἀπαγαγεῖν· Συμβατίῳ δὲ τῷ υἱῷ τῷ κατὰ τὸ στέψιμον μετονομασθέντι Κωνσταντῖνον, καὶ τοῖς λοιποῖς, Βασιλείῳ τε καὶ Γρηγορίῳ ἅμα Θεοδοσίῳ, ἐν τῇ Πρώτῃ νήσῳ ἀποκείραντες μοναστὰς πεποιήκασιν. ἔνθα καὶ Κωνσταντῖνος [D] μετονομασθεὶς Βασίλειος, ἀφωνίᾳ συσχεθεὶς μετὰ τὸ τὰ γόνιμα τῶν μορίων ἀφαιρεθῆναι, ἐδέετο μὲν τοῦ θεοῦ, ἀλλὰ καὶ Γρηγορίου τοῦ θεολόγου ἐκεῖσε ἀνεστηλωμένου, τὴν ἑαυτοῦ λυθῆναι φωνὴν καὶ τὴν γλῶτταν τὸ εὔηχον ἀπολαβεῖν. ὅθεν καὶ εἰση-



κούσθη. κατὰ γὰρ τὴν τῶν φώτων πανήγυριν ὁρᾷ τὸν θεῖον ἐκεῖνον χαρακτῆρα, "τὸν κηρὸν" λέγοντα "λαβὼν ἀνάγνωθι." ὁ δὲ ἀδιστάκτως εἰσελθὼν ἀνέγνω λαμπρᾷ καὶ καθαρᾷ τῇ φωνῇ "πάλιν Ἰησοῦς ὁ ἐμός." ἔκτοτε οὖν τὴν πατροπαράδοτον αὐτοῦ βδελυξάμενος αἵρεσιν τὰς τῶν ἁγίων ἰδέας ἐτίμα καὶ περιεπτύσσετο. ἀλλὰ ταῦτα μὲν ὕστερον.

## 10.

*<u>Συνέχεια Γεωργίου Μοναχού</u>*

Βλ. I. Bekker (έκδ.), *Theophanes Continuatus, Ioannes Cameniata, Symeon Magister, Georgius Monachus* [CSHB], Bonnae 1838 (Συνέχεια Γεωργίου Μοναχού/Georgius Continuatus: σ. 763-810), σ. 784.1-16, 788.13-21. Πρβλ. Καρπόζηλος, *Βυζαντινοί Ιστορικοί και* χρονογράφοι, τ. Β΄, σ. 446-448 (κείμ.-σχόλ.)

### ΠΕΡΙ ΤΗΣ ΑΝΤΑΡΣΙΑΣ ΤΟΥ ΘΩΜΑ

**784 GEORGIUS MONACHUS**

P 511 3. Ἐφ' οὗ Θωμᾶς ὁ ἀντάρτης ἐκ τῶν ἀνατολικῶν μερῶν ἀπάρας ἤδη, καὶ λαὸν ἀγυρτώδη καὶ ἐπίμικτον προσυλλεξάμενος καὶ ἐπισυρόμενος, ἐπὶ τὸ Βυζάντιον ἐκίνησεν, τῆς βασιλείας παρ' ἀξίαν ἐφιέμενος· ἐκ γὰρ τῆς Ῥωμαίων γῆς ὁρμώμενος, δυσγενής τε καὶ ἀφανὴς ὤν, πρὸς τὰ μέρη τῆς Συρίας ἀφίκετο, Κωνσταντῖνον ἑαυτὸν μετονομάσας καὶ υἱὸν Εἰρήνης τῆς βασιλίσσης. κἀντεῦθέν γέ τοι πολλοὺς τῶν βαρβάρων καὶ Χριστιανῶν ἀπατήσας, καὶ λαὸν ἄπειρον ἐκ διαφόρων ἐθνῶν συναθροίσας ἐπὶ τὴν
B Κωνσταντινούπολιν ἐπῄει ἐν ὄχλῳ βαρεῖ καὶ στόλῳ μεγάλῳ, καθάπερ τι θηρίον ἀλλόκοτον καὶ πολύμορφον ποικίλον τε καὶ πολυκέφαλον τὰ πολυειδῆ γένη τῶν ἐθνῶν ἀθροίσας καὶ οἷά τις ἄλλος Σεναχηρεὶμ κατὰ τῆς νέας Ἱερουσαλὴμ καθοπλισάμενος, ἐμεγαλαύχει τῶν ἑπομένων τῷ πλήθει καὶ κατηλαζονεύετο, μὴ πάμπαν, ὡς ἔοικε, νοήσας ὅτι οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ, καὶ ψευδὴς ἵππος εἰς σωτηρίαν καὶ κύριος διασκεδάζει βουλὰς ἐθνῶν, καὶ τὰ ἑξῆς.

**788 GEORGIUS MONACHUS**

(9) ὁ δέ γε Μιχαὴλ ταῦτα μεμαθηκὼς ὑπὸ τῶν ἰδίων φίλων καὶ συγγενῶν προδοθέντα, αὐτίκα τῆς πόλεως ὑπεξελθὼν μετὰ πλείστης δυνάμεως πρὸς αὐτὸν ἐξώρμησε. καὶ δὴ περικαθίσας βραχύν τινα καιρὸν καὶ τοῦτον ἀμογητὶ χειρωσάμενος, καὶ τὸν τράχηλον αὐτοῦ
C κατὰ τὴν ἀρχαίαν συνήθειαν πεπατηκώς, καὶ ἀκρωτηριάσας αὐτοῦ χεῖρας καὶ πόδας καὶ οὕτως ἀνασκολοπίσας, κατέπαυσε τὸν ἐν τρισὶν ἔτεσι δι' αὐτὸν κατάρξαντα καὶ διαρκέσαντα χαλεπὸν καὶ δύστηνον ἐμφύλιον πόλεμον.

**11.**

**<u>Λέων Διάκονος, *Ἱστορία*</u>**

Βλ. C. B. Hase (ed.), *Leonis Diaconi, Historiae libri decem* [CSHB], Bonnae 1828, V, σ. 87.1-88.6. Πρβλ. Καρπόζηλος, *Βυζαντινοί Ιστορικοί και χρονογράφοι*, τ. Β΄, σ. 509-525 (κείμ.-σχόλ.)

## ΕΠΙΒΟΥΛΗ ΤΟΥ ΤΖΙΜΙΣΚΗ ΚΑΤΑ ΤΟΥ ΦΩΚΑ, ΣΥΜΠΡΑΤΤΟΥΣΗΣ ΚΑΙ ΤΗΣ ΘΕΟΦΑΝΟΥΣ. ΑΝΑΙΡΕΣΙΣ ΤΟΥ ΦΩΚΑ ΝΙΚΗΦΟΡΟΥ

HISTORIAE V. 7. 87

A. C. 969
I. N. 7
Fol. 296 r.

ζʹ. Οἱ δὲ πρὸς τῆς Αὐγούστης ὑποδεχθέντες ὑπηρέται τοῦ Ἰωάννου, τοῦ δωματίου ξιφήρεις ἐκπηδήσαντες, τὴν ἐκείνου ἄφιξιν προσεδέχοντο, περὶ τὰ ὕπαιθρα τῶν βασιλείων ὑπερῴων κα- B τασκοπούμενοι. πέμπτην τῆς νυκτὸς ὥραν ὁ γνώμων ἤδη κατεπηγγέλλετο· δριμεῖα δέ τις βορέου αὖρα τὸ τοῦ ἀέρος ἐπεῖχε κατάστημα, καὶ χιὼν ἐχεῖτο πολλή· καὶ ὁ Ἰωάννης ἀφίκετο μετὰ τῶν συνωμοτῶν, ἐπὶ λέμβου τὸν αἰγιαλὸν παραπλέων, καὶ τῆς ἠπείρου προσεπιβαίνων, ἵνα ὁ λίθινος λέων τὸν ταῦρον ζωγρεῖ (Βουκολέοντα τὸν τόπον κέκληκεν ἡ συνήθεια)· ὃς τοῖς ἄνωθεν ἐπὶ τῶν ὑπαίθρων προκύπτουσιν ὑπηρέταις συρίττων ἐπεγινώσκετο. τοιοῦτον γὰρ τοῖς παλαμναίοις ἐδέδοτο σύνθημα. κόφινον οὖν καλωδίοις ἐξηρτημένον χαλάσαντες ἄνωθεν, καθ᾽ ἕνα τοὺς C συνωμότας πρότερον ἅπαντας ἀνιμήσαντο, ἔπειτα δὲ καὶ τὸν Ἰωάννην αὐτόν. ἀνελθόντες οὖν παρὰ πᾶσαν ἀνθρωπίνην ὑπόνοιαν, καὶ τὰ ξίφη γυμνώσαντες, εἰς τὸν βασιλικὸν εἰσελαύνουσι θάλαμον, καὶ τὴν κλίνην κατειληφότες, καὶ ταύτην εὑρόντες κενὴν καὶ μήτινα ἐν αὐτῇ διαναπαυόμενον, ἐπεπήγεσαν ἀπὸ τοῦ δέους, καὶ καταχρημνίζειν αὑτοὺς ἐπειρῶντο πρὸς θάλασσαν. ἀλλ᾽ ἀνδράριόν τι τῶν ἐκ τῆς γυναικωνίτιδος ἰταμῶν, αὐτῶν ἡγησάμενον, ὑποδεικνύει τὸν βασιλέα καθεύδοντα, ὃν κύκλῳ περιστάντες ἔνυττον τοῖς ποσὶν ἐναλλόμενοι. διυπνισθέντα δὲ τοῦτον καὶ τὴν κεφαλὴν ἐπ᾽ ἀγκῶνος ἐρείσαντα, ξίφει βιαίως D παίει Λέων ὁ Βαλάντης ὀνομαζόμενος.

A. M. 6478 Ind. 13 τραύματι (μέχρι τῆς ὀφρύος καὶ τῆς βλεφαρίδος τὸ ξίφος καθίκετο, ἀπαράξαν μὲν τὸ ὀστοῦν, μὴ πλῆξαν δὲ τὸν ἐγκέφαλον), „Θεοτόκε, βοήθει," ἐκέκραγε γεγωνοτέρᾳ φωνῇ· ἐῤῥεῖτο δὲ πανταχόθεν τῷ αἵματι καὶ κατεφοινίσσετο. ὁ δὲ Ἰωάννης, ἐπὶ τῆς βασιλικῆς καθίσας στρωμνῆς, ἑλκύειν ὡς αὐτὸν τὸν βασιλέα παρεκελεύσατο.

------------------------------------

**12.**

**<u>Μιχαὴλ τοῦ Ἀτταλειάτου, *Ἱστορία*</u>**

Βλ. E. Tsolakis (ed.), *Michaelis Attaliatae Historia* [CFHB 50], Athens 2011, σ. 126.1-25 (*Οἱ δ'ἐνάντιοι ...λαβεῖν*). Πρβλ. Καρπόζηλος, *Βυζαντινοί Ιστορικοί και χρονογράφοι*, τ. Γ΄, σ. 230-238 (κείμ.-σχόλ.)

## ΟΠΩΣ ΗΤΤΗΘΗ Ο ΡΩΜΑΝΟΣ ΔΙΟΓΕΝΗΣ ΚΑΙ ΕΑΛΩ

126 ΜΙΧΑΗΛ ΤΟΥ ΑΤΤΑΛΕΙΑΤΟΥ [B. 163/164]

Οἱ δ' ἐναντίοι κατόπιν διώκοντες οὓς μὲν ἀνεῖλον, οὓς δὲ ζωγρίᾳ εἷλον, ἑτέρους δὲ | συνεπάτουν· καὶ ἦν τὸ πρᾶγμα λίαν ἐπώδυνον καὶ E 342r πάντα θρῆνον ὑπερβάλλον καὶ κοπετόν. Τί γὰρ ἐλεεινότερον τοῦ στρατόπεδον ἅπαν βασιλικὸν φυγῇ καὶ ἥττῃ παρὰ βαρβάρων ἀπανθρώπων καὶ ἀποτόμων ἐλαύνεσθαι καὶ τὸν βασιλέα βαρβαρικοῖς ὅπλοις ἀβοήθητον περιεστοιχίσθαι καὶ τὰς βασιλείους σκηνὰς καὶ τὰς ἡγεμονικὰς ἅμα καὶ στρατιωτικὰς ὑπὸ τοιούτων ἀνδρῶν κυριεύεσθαι καὶ ἅπαν ἀνάστατον τὸ ῥωμαϊκὸν καθορᾶσθαι καὶ βασιλείαν ἐν ἀκαρεῖ κατανοεῖν συμπεσοῦσαν;

Καὶ τὰ μὲν τοῦ λοιποῦ πλήθους ἐν τούτοις· τὸν δὲ βασιλέα περιστοιχίσαντες οἱ πολέμιοι οὐκ εὐχείρωτον ἔσχον εὐθύς, ἀλλ' ἅτε στρατιώτης καὶ πολεμικῆς ἐμπειρίας εἰδήμων καὶ κινδύνοις προσομιλήσας πολλοῖς καρτερῶς ἠμύνατο τοὺς προσπίπτοντας καὶ πολλοὺς ἀνελὼν τέλος ἐπλήγη φασγάνῳ τὴν χεῖρα τοῦ τε ἵππου βέλεσι κατακοντισθέντος ἐκ ποδὸς μαχόμενος ἵστατο. Καμὼν δ' ὅμως πρὸς ἑσπέραν ἁλώσιμος καὶ ὑπόσπονδος, φεῦ τοῦ πάθους, ἐγένετο. Καὶ τῇ μὲν νυκτὶ ‖ ἐκείνῃ ἐπίσης τοῖς πολλοῖς ἐπὶ γῆς ἀτίμως καὶ περιωδύνως κατέδραθε μυρίοις πανταχόθεν καὶ ἀφορήτοις περικλυζόμενος τοῖς ἐκ τῶν λογισμῶν καὶ τῶν κατ' ὄψιν ἀνιαρῶν κύμασι· τῇ δ' ἐπαύριον ἀγγελθείσης τῷ σουλτάνῳ καὶ τῆς τοῦ βασιλέως ἁλώσεως, χαρά τις ἄπλετος ὁμοῦ καὶ ἀπιστία κατέσχεν αὐτὸν οἰόμενον ὡς ἀληθῶς μέγα τι καὶ ὑπερμέγεθες εἶναι τὸ μετὰ τῆς ἥττης τοῦ βασιλέως καὶ αὐτὸν ἐκεῖνον δορυάλωτον καὶ οἰκέτην λαβεῖν.

### 13.

### ’Ιωάννης Ζωναρᾶς, *’Επιτομὴ Ἱστοριῶν*

Βλ. T. Büttner-Wobst (ed.), *Ioannis Zonarae, Epitomae historiarum* [CSHB], Bonnae 1897, XVIII 20, σ. 765.5-766.16. Πρβλ. Καρπόζηλος, *Βυζαντινοί Ιστορικοί και χρονογράφοι*, τ. Γ΄, σ. 526-534 (κείμ.-σχόλ.)

**ΟΠΩΣ Ο ΑΛΕΞΙΟΣ ΕΑΥΤΩ ΤΗΝ ΒΑΣΙΛΕΙΑΝ ΠΕΡΙΕΠΟΙΗΣΑΤΟ**

**765**

*Ἦν δ' ὁ ἀνήρ, ἵνα καὶ τὸν τρόπον ἐκείνου δῆλον θείημεν* 15
*τοῖς μετέπειτα καὶ τὸ ἦθος τοῖς ὀψιγόνοις χαρακτηρίσαιμεν,* D
*οὐθ' ὑπεροπτικός τε καὶ ἀλαζὼν οὔτε μὴν ὀξὺς εἰς θυμόν,*
*ἀλλ' οὐδὲ χρημάτων ἥττων οὐδ' ἄγαν ἐρασιχρήματος, ὥστε*
*βούλεσθαι καταχωννύειν αὐτὰ καὶ ταμιεύειν, ἵν' εἶεν αὐτῷ θη-*
*σαυροὶ κεκρυμμένοι καὶ ὑπόγαια χρήματα, ὅθεν οὐδὲ θανόντος*
*πλεῖστα παρὰ τοῖς ταμείοις εὑρέθησαν, πρὸς ἔλεον εὐκατάφορος,* 16
*πρὸς κόλασιν οὐκ ὀξύρροπος, μέτριος τὸ ἦθος, εὐπρόσιτος,*
259 *πρὸς τὴν δίαιταν οὐκ ἀκόλαστος, οὐκ οἴνου ἡττώμενος, τοῖς*
*ἐναρέτως βιοῦσι προσέχων καὶ ἀπονέμων τιμήν, λόγους οὐχ*
*ὡς ἔδει τιμῶν, τέως δέ γε τιμῶν, ἐπιεικής τε καὶ τοῖς περὶ* P II 310 A
*αὐτὸν οὐ σοβαρῶς προσφερόμενος, ἀλλ' ἐκ τοῦ ἴσου σχεδὸν*
*ὁμιλῶν τε καὶ χαριεντιζόμενος. ὅθεν κἀκείνοις θαρρεῖν ἐπῄει* 17
*καὶ οὐ μετὰ δέους αὐτῷ παρεστάναι, καὶ μᾶλλον ὅτ' ἀπῄει ἡ*

**766 ZONAR. EPIT. XVIII 29, 17—28.**

18 *βασίλισσα· ὑπεστέλλοντο γὰρ ἐκείνης παρούσης ἀρχικόν τε καὶ*
*ἐμβριθὲς ἐνδεικνυμένης ἰδίωμα καὶ τοῖς ἀτακτοῦσιν ἐπιτιμώσης*
*σφοδρότερον.*
19 *Ὁ μὲν οὖν τοιοῦτος ἦν, ταῦτα δὲ καλὰ μὲν καὶ πῶς γὰρ*
W III 246 *οὔ; ἰδιώτῃ δ' ἀποχρῶντα πρὸς ἔπαινον, οὐ μήν γε καὶ βασι-*
20 *λέα δεικνύντα τὰ πάντα χρηστόν. οὐ γὰρ αἱ αὐταὶ βασιλέως*
*καὶ ἰδιώτου γένοιντ' ἂν ἀρεταί· ἰδιώτῃ μὲν γὰρ ἀπόχρη καὶ*
B *μέτριον ἦθος καὶ ἐπιείκεια καὶ τὸ πρὸς θυμὸν οὐκ εὐκίνητον*
21 *καὶ τὸ σῶφρον τὸ πρὸς τὴν δίαιταν. βασιλεῖ δὲ πρὸς τούτοις*
*καὶ ἡ τῆς δικαιοσύνης φροντὶς καὶ ἡ τῶν ὑπηκόων προμήθεια*
22 *καὶ ἡ τῶν παλαιῶν ἠθῶν τοῦ πολιτεύματος τήρησις. τῷ δὲ*
*μέλημα μᾶλλον ἡ τῶν ἀρχαίων ἐθῶν γέγονε τῆς πολιτείας ἀλ-*
*λοίωσις, καὶ τὸ μεταλλάξαι ταῦτα ἔργον ἦν αὐτῷ σπουδαιότα-*
*τον, καὶ τοῖς πράγμασιν οὐχ ὡς κοινοῖς οὐδ' ὡς δημοσίοις*
*ἐκέχρητο καὶ ἑαυτὸν οὐκ οἰκονόμον ἡγεῖτο τούτων, ἀλλὰ δε-*
*σπότην, καὶ οἶκον οἰκεῖον ἐνόμιζε καὶ ὠνόμαζε τὰ βασίλεια.*

**14.**

**<u>Ἄννα Κομνηνή, *Ἀλεξιάς*</u>**

Βλ. D. R. Reinsch – A. Kambylis (ed.), *Annae Comnenae, Alexias* [CFHB 40], Berlin 2001, XV, §8, 485.40-68 και §10, 487.25-27. Πρβλ. Καρπόζηλος, *Βυζαντινοί Ιστορικοί και Χρονογράφοι*, τ. Γ΄, σ. 452-454 (κείμ.-σχόλ.)

**ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΒΟΓΟΜΙΛΩΝ ΑΙΡΕΣΕΩΣ ΚΑΙ ΟΠΩΣ Ο ΤΑΥΤΗΣ ΚΗΡΥΞ ΔΙΕΦΘΑΡΗ**

τοιοῦτον δέ ἐστι τὸ τῶν Βογομίλων δόγμα, ἐκ Μασσαλιανῶν καὶ Μανιχαίων συγκείμενον, καὶ ὡς ἔοικεν, ἦν μὲν κἀν τοῖς πρὸ τοὐμοῦ πατρὸς χρόνοις, ἐλάνθανε δέ· δεινότατον γὰρ ⟨τὸ⟩ τῶν Βογομίλων γένος ἀρετὴν ὑποκρίνασθαι. καὶ τρίχα μὲν κοσμικὴν οὐκ ἂν ἴδοις βογομιλίζουσαν, κέκρυπται δὲ τὸ κακὸν ὑπὸ τὸν μανδύαν καὶ τὸ



κουκούλιον. καὶ ἐσκυθρώπακεν ὁ Βογόμιλος καὶ μέχρι ῥινὸς σκέπεται καὶ κεκυφὼς βαδίζει καὶ ὑποψιθυρίζει τὸ στόμα, τἄνδοθι δὲ λύκος ἐστὶν ἀκάθεκτος. 2 καὶ τοῦτο τὸ ἔθνος τοιοῦτον ὂν δυσφορώτατον, ὥσπερ ὄφιν ἐμφωλεύοντα τῇ χειᾷ ἐπῳδῶν ἴυγξιν ἀπορρήτοις ὁ ἐμὸς πατὴρ εἰς φῶς ἐξεκαλέσατο καὶ ἐξήνεγκεν. ἀπάρτι γὰρ τὸ πολὺ τῆς τῶν ἑσπερίων καὶ ἑῴων ἀποθέμενος φροντίδος πρὸς τὸ πνευματικώτερον ἑαυτὸν ἐπέτεινεν. ἐν πᾶσι γὰρ τῶν ἁπάντων ἐκράτει· ἐν λόγοις διδακτικοῖς τοὺς περὶ λόγον ἐσπουδακότας ἐνίκα, ἐν μάχαις δὲ καὶ στρατηγίαις τῶν ἐν ὅπλοις θαυμαζομένων ὑπερεῖχεν. 3 ὡς δὲ ἡ τῶν Βογομίλων ἁπανταχοῦ ἤδη διέσπαρτο φήμη (Βασίλειος γάρ τις μοναχὸς πολυτροπώτατος μεταχειρίσασθαι τὴν Βογομίλων ἀσέβειαν, δώδεκα μὲν ἔχων μαθητάς, οὓς καὶ ἀποστόλους ὠνόμαζε, συνεφελκόμενος δὲ καὶ μαθητρίας τινάς, γύναια κακοήθη καὶ παμπόνηρα, ἐφήπλωσε τὴν κακίαν ἁπανταχοῦ) καὶ πολλὰς ψυχὰς δίκην πυρὸς ἐπενείματο τὸ κακόν, οὐκ ἠνείχετο ἡ τοῦ βασιλέως ψυχὴ τοῦτο καὶ διερευνᾷ τὰ περὶ τῆς αἱρέσεως. καί τινες τῶν Βογομίλων εἰς τὰ ἀνάκτορα ἤγοντο, ἅπαντες δὲ Βασίλειόν τινα κατήγγελλον διδάσκαλον καὶ κορυφαῖον πρωτοστάτην τῆς βογομιλικῆς αἱρέσεως. ἐκ τούτων δὲ Διβλάτιός τις κατασχεθείς, ἐπεὶ ἐρωτώμενος ἀνομολογεῖν οὐκ ἠβούλετο, | αἰκίαις παραδοθεὶς τηνικαῦτα τὸν λεγόμενον Βασίλειον ἀνωμολόγει καὶ οὓς ἐκεῖνος προεχειρίσατο ἀποστόλους. τοίνυν τὴν τούτου ἀναζήτησιν πολλοῖς ὁ αὐτοκράτωρ ἀνέθετο. καὶ δῆτα ἀναφαίνεται ⟨ὁ⟩ τοῦ Σαταναὴλ ἀρχισατράπης Βασίλειος, τὸ ἔνδυμα μοναχός, κατεσκληκὼς τὸ πρόσωπον, τὴν ὑπήνην ψιλός, εὐμήκης τὴν ἡλικίαν, πολυτροπώτατος μεταχειρίσασθαι τὴν ἀσέβειαν.

**X** τὸν μέντοι Βασίλειον, ὡς ὄντως αἱρεσιάρχην καὶ ἀμεταμέλητον παντάπασιν, ἅπαντες τῆς ἱερᾶς συνόδου καὶ τῶν Ναζιραίων λογάδες καὶ αὐτὸς δὲ ὁ τότε πατριάρχης Νικόλαος πυρὸς ἄξιον ἔκριναν. οἷς καὶ ὁ

-----------------------------------

**15.**

**<u>᾽Ιωάννης Κίνναμος, *Ἱστοριῶν βιβλία ζ΄*</u>**

Βλ. A. Meineke (ed.), *Ioannis Cinnami, Epitome* [CSHB], Bonnae 1836, σ. 67.3-68.3.
Πρβλ. Καρπόζηλος, *Βυζαντινοί ιστορικοί και χρονογράφοι*, τ. Γ΄, σ. 650-657 (κείμ.-σχόλ.)

## ΕΠΙ ΤΗΣ ΑΣΙΑΣ ΔΙΑΒΑΣΙΣ ΤΩΝ ΑΛΑΜΑΝΩΝ

**12.** Ἐντεῦθεν τὰ ἐξ ἑσπέρας ἀρχὴν ἔσχε. Κελτοὶ γὰρ καὶ
Γερμανοὶ καὶ τὸ Γαλατῶν ἔθνος καὶ ὅσα τὴν παλαιὰν ἀμφινέ-
μονται Ῥώμην, Βρίττιοί τε καὶ Βρετανοὶ καὶ ἅπαν ἁπλῶς τὸ
ἑσπέριον ἐκεκίνητο κράτος, λόγῳ μὲν τῷ προχείρῳ ὡς ἐξ Εὐρώπης
ἐπὶ τὴν Ἀσίαν διαβήσονται Πέρσαις τε μαχησόμενοι τοῖς παρὰ πό- V 30
δας καὶ τὸν ἐν Παλαιστίνῃ καταληψόμενοι νεὼν τόπους τε τοὺς
ἱεροὺς ἱστορήσοντες, τῇ γε μὴν ἀληθείᾳ ὡς τήν τε χώραν Ῥω-
μαίων ἐξ ἐφόδου καθέξοντες καὶ τὰ ἐν ποσὶ καταστρέψοντες. ἦν
δὲ αὐτοῖς ἡ στρατιὰ ἀριθμοῦ κρείσσων. βασιλεὺς δὲ ἐπειδὴ ἄγχι-
στα τῶν Οὐννικῶν ὁρίων γεγονέναι ἐπύθετο τούτους, πρέσβεις
ἔστελλε, Δημήτριόν τέ τινα Μακρεμβολίτην καὶ Ἀλέξανδρον ἄν- P 38
δρα Ἰταλὸν μὲν τὸ γένος Γραβίνης δὲ πόλεως Ἰταλικῆς κόμητα γε-
γονότα, πρός τε τοῦ Σικελίας τυράννου ἅμα πλείοσιν ἄλλοις τῆς
τε ἀρχῆς ἀποβιβασθέντα καὶ βασιλεῖ διὰ τοῦτο αὐτόμολον γεγο-
νότα. ἐκέλευε δὲ τῆς τε γνώμης ἀποπειράσασθαι σφῶν, καὶ εἴγε
μὴ ἐπὶ τῷ πονηρῷ Ῥωμαίων ἥκουσιν, ὅρκοις τὸ πρᾶγμα βεβαιοῦν.
οἳ καὶ ἐπειδὴ ἐπὶ τοὺς τῶν βαρβάρων τούτων ἡγεμόνας ἦλθον,
ἔλεξαν τάδε· “ἀκήρυκτον πόλεμον ἄγειν ἐπὶ τοὺς μηδὲν ἠδικηκό-
τας, οὔτε ὅσιον οὔτε ἄλλως εὐπρεπὲς ἀνθρώποις ἐστὶ γένους τε
περιφανείᾳ καὶ δυνάμεως περιουσίᾳ μάλιστα κεχρημένοις. νικῶν- B
τες γάρ, ἂν οὕτω τύχοι, οὐ σὺν ἀνδρείᾳ νικήσουσι, καὶ ἡσσώ-



μενοι οὐχ ὑπὲρ ἀρετῆς κινδυνεύσουσιν. ἄμφω δὲ οὐκ ἐπαινετά.
ὑμῖν δὲ οὐδὲ ἄλλως ἔξεσται γῆν τὴν Ῥωμαίων πατεῖν μὴ πρότερον
πίστεις περὶ τοῦ μηδὲν ἀδικήσειν δεδωκότας βασιλεῖ.

---------------------------------

**16.**

**<u>Νικήτας Χωνιάτης, *Χρονικὴ Διήγησις*</u>**

Βλ. J.-L. van Dieten (ed.), *Nicetae Choniatae Historia* [CFHB 11], Berlin 1975, σ. 544.8-23, 546.72-547.84. Πρβλ. Καρπόζηλος, *Βυζαντινοί Ιστορικοί και χρονογράφοι*, τ. Γ΄, σ. 770-774 (κείμ.-σχόλ.)

## ἈΦΙΞΙΣ ΤΩΝ ΣΤΑΥΡΟΦΟΡΩΝ ΕΙΣ ΒΥΖΑΝΤΙΟΝ ΚΑΙ ΑΠΟΔΡΑΣΙΣ ΑΛΕΞΙΟΥ Γ'

544 ΝΙΚΗΤΑ ΤΟΥ ΧΩΝΙΑΤΟΥ *Bekk 720/1*

Καὶ οἱ μὲν οὐ χάρακι καὶ ὅπλοις, τῷ δὲ περιβόλῳ τῆς πόλεως ἡμῶν διείργοντο· ὁ δὲ βασιλεὺς Ἀλέξιος πάλαι τεθησαυρικὼς ἐν ψυχῇ τὴν φυγὴν καὶ ἅπας αὐτῆς γινόμενος ὡπλοφόρησεν οὐδαμοῦ, οὐδ' ἀντιμέτωπος ὤφθη τοῖς ἔξωθεν, ἀλλὰ θεατὴς τῶν δρωμένων ἐκάθητο, τοὺς ὑπερυψήλους δόμους ἀνιών, οἳ τῆς ἐξ Ἀλαμανῶν δεσποίνης κικλήσκονται. οἱ δέ γε περὶ αὐτὸν οἰκειακοί τε καὶ συγγενεῖς, ὁσονοῦν συναγηοχότες στράτευμα ἱππικὸν καὶ μοῖραν εὐάριθμον πεζικήν, ἐκ διαλειμμάτων ἐξῄεσαν, μόνον οὐ προθέμενοι δεικνύειν τὸ μὴ ἔρημον ἀνθρώπων τὴν πόλιν εἶναι παντάπασιν. ἐπελάσεις τοίνυν ἐξ ἐπιδρομῆς μερικαὶ καὶ διακοντίσεις ἱπποτῶν πρὸς ἱππέας κατ' ἐρεθισμὸν καὶ ζῆλον ἀνδρείας πολλάκις τῆς ἡμέρας συνέβαινον ἑκατέρωθεν· καὶ ἦσαν ἐν τούτοις οὐκ ἀγεννῆ τὰ ἡμέτερα. ἀλλὰ καὶ πεζῶν ἐκπηδῶσαι δυνάμεις ἐς τὴν αὔλειον μάλιστα, ἣν εἰρήκειμεν, τοῖς ἐναντίοις προσέβαλλον. ἦν δὲ καὶ ἀπὸ πετροβόλων μηχανημάτων ἀχρειούμενα τὰ βασίλεια, ἐνιαχοῦ δὲ | κἀκ τῶν τειχέων τῆς πόλεως βάρη λίθων ἀποσφενδονούμενα τοὺς ἐναντίους κατέπληττον.

546

Εἰσιὼν οὖν Ἀλέξιος τὰ βασίλεια πρὸς ἀπόδρασιν ἐνσκευάζεται, ὡς εἴπερ φερομένην τὴν πόλιν εἰς ἀτυχὲς πτῶμα καὶ ὑπὲρ αἶσαν ἀφαντῶσαι διεπονεῖτο καὶ τὸν ταύτης ἀποτεταμένον συνέτεμεν ὄλεθρον. τὰ τοῦ σκοποῦ τοίνυν κοινωσάμενος μετρίοις τῶν κατευναστριῶν

*Bekk 723/4* ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΑΓΓΕΛΟΥ Β' 547

ἐκείνῳ καὶ συγγενῶν κἀκ τῶν θυγατέρων τῇ Εἰρήνῃ, καὶ δέκα χρυσίου ἐνθέμενος κεντηνάρια καὶ κόσμους ἄλλους βασιλικοὺς ἐκ λίθων τιμαλφῶν συγκειμένους καὶ μαργάρων διαφανῶν, περὶ τὴν πρώτην ὥρας φυλακὴν τῆς νυκτὸς ἤλαυνεν ἐς τὸ Δεβελτόν, ἔνθα τὴν οἰκείαν προητοίμασεν ἄφιξιν, δείλαιος ἐν ἀνθρώποις, μὴ φίλ|τρῳ παίδων μαλαχθείς, μὴ γυναικὸς ἔρωτι δαμασθείς, μὴ τηλικαύτῃ πόλει μαλακισθείς, μηδέ τι τῶν ἄλλων εἰς νοῦν βαλόμενος, φιλοψυχίᾳ δὲ καὶ δειλανδρίᾳ σωτηρίαν ἑαυτῷ, καὶ ταύτην ἀμφίβολον, χωρῶν καὶ πόλεων τοσούτων καὶ γένους παντὸς ἀλλαξάμενος.

## 17.

**<u>Ἰωάννης Καντακουζηνός, *Ἱστοριῶν Βιβλία Δ΄*</u>**

Βλ. L. Schopen (ed.), *Ioannis Cantacuzeni eximperatoris, Historiarum libri IV*, Bonnae 1831, τ. II, σ. 233.8-234.17 (*ἐν Θεσσαλονίκῃ δὲ …σταυροῦ κελεύοντος*). Πρβλ. Καρπόζηλος, *Βυζαντινοί ιστορικοί και χρονογράφοι*, τ. Δ΄, σ. 213-225 (κείμ.-σχόλ.)

### ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΗΝ ΘΕΣΣΑΛΟΝΙΚΗΝ ΤΕΛΕΣΘΕΝΤΩΝ ΤΟΙΣ ΖΗΛΩΤΑΙΣ

**233**

*ἃ καὶ περιμάχητος αὐτοῖς ἐδόκει ἡ ἐκείνου συμμαχία. ἐν Θεσσαλονίκῃ δὲ ὁ πρωτοστράτωρ, ὥσπερ ἔφημεν, ἀμφίβολος ὢν καὶ περὶ τῶν βασιλέων ὅτῳ πρόσθηται φανερῶς διασκεπτόμενος, μαλακώτερόν τε τῶν πραγμάτων ἥπτετο καὶ τοὺς λεγομένους Ζηλωτὰς, οἳ ὑπὲρ βασιλέως τοῦ Παλαιολόγου βασιλεῖ τῷ Καντακουζηνῷ ᾑροῦντο πολεμεῖν, αὐξανομένους κατὰ μικρὸν περιεώρα, τοῦτο μὲν, μὴ φανερὸς γένοιτο τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ᾑρημένος, δεδοικὼς, (ἥ γὰρ θυγάτηρ αὐτῷ καὶ ἡ γυνὴ, αἳ ἦσαν ἐν Βυζαντίῳ, καὶ ἡ ἄλλη περιουσία οὐκ εἴων πράττειν ἃ ᾑρεῖτο, ἐμβάλλουσαι εἰς ἀγωνίαν, μὴ δι' αὐτὸν πολλοῖς προσομιλήσωσι κακοῖς,) τοῦτο δ'* P. 476 *ὅτι καὶ Θεσσαλονικέων οὐ μόνον ἡ στρατιὰ, οἳ ἦσαν οὐκ ὀλίγοι, ἀλλὰ καὶ τῶν πολιτῶν οἱ δυνατοὶ τὰ βασιλέως τοῦ Καντακουζηνοῦ ᾑρημένοι πρὸς ἀμέλειαν ἐνῆγον, οἷς ἐθάῤῥει, ὅτε βούλοιτο, περιέσεσθαι τῶν Ζηλωτῶν. ἐπεὶ δὲ ἐκεῖνοι διὰ τὴν μέλλησιν ἐκείνου ἦσαν οὐκ εὐκαταφρόνητοι καὶ τὸν δῆμον ἀνηρέθισαν κατὰ τῶν δυνατῶν, τοῦ πρωτοστράτορος*

**234** **CANTACUZENI**

A. C. 1342 *ἤδη ἐγνωσμένου τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ᾑρῆν, ἐπιθέμενοι ἀθρόον, ἐξελαύνουσι τῆς πόλεως περὶ χιλίους ὄντας. συμβολῆς ὀλίγης γενομένης δι' ἀκροβολισμῶν, ἐν ᾗ καὶ τῶν πρωτοστράτορος οἰκετῶν ἐγένοντο ὀλίγοι τραυματίαι· ἑάλωσαν* B *δὲ καὶ τῶν δυνατῶν τινες, οἳ οὐκ ἠδυνήθησαν τοῖς ἄλλοις τῇ πρώτῃ συνεκπεσεῖν ὁρμῇ. ὑφ' ἑαυτοῖς δὲ οἱ Ζηλωταὶ τὴν πόλιν ποιησάμενοι, ἐτράπησαν εἰς τὰς οἰκίας τῶν φυγάδων*

καὶ αὐτάς τε καθῄρουν καὶ τὰς οὐσίας διήρπαζον, καὶ τἄλλα
ἔπραττον, ὅσα ἦν εἰκὸς αὐτοὺς ἀνθρώπους ὑπὸ πενίας συνε-
λαυνομένους καὶ εἰς ὕβριν ἐξενηνεγμένους διὰ τὴν ἀθρόαν
εὐπορίαν. εἰς τοσοῦτον δὲ ἀπονοίας καὶ τόλμης ἦλθον, ὥστε
καίτοι τὰ δεινότατα τολμῶντες, σταυρὸν ἐκ τῶν ἱερῶν ἀδύ-
των ἁρπάζοντες, ἐχρῶντο ὥσπερ σημαίᾳ καὶ ὑπὸ τούτῳ ἔλε-
γον στρατηγεῖσθαι, οἱ τῷ πολεμίῳ μᾶλλον τοῦ σταυροῦ ἀγό-
C μενοι. καὶ εἴ τις πρός τινα ἔκ τινων ἰδίων ἐγκλημάτων διε-
φέρετο, τὸν σταυρὸν ἁρπάζων, ἐχώρει κατὰ τῆς οἰκίας, ὡς
δὴ τοῦ σταυροῦ κελεύοντος.

------------------------------------

## 18.

**<u>Δούκας, *Βυζαντινοτουρκικὴ Ἱστορία*</u>**

Βλ. V. Grecu (ed.), *Ducas, Istoria turco-bizantina (1341-1462)* [Scriptores Byzantini 1], Bucarest 1958, XXXVI 1-6, σ. 315.1-27. Πρβλ. Καρπόζηλος, *Βυζαντινοί ιστορικοί και χρονογράφοι*, τ. Δ΄, σ. 270-298 (κείμ.-σχόλ.)

### ΟΠΩΣ ΥΠΕΔΕΞΑΤΟ Ο ΒΑΣΙΛΕΥΣ ΤΟΝ ΚΑΔΔΗΝΑΛΙΟΝ ΤΟΥ ΠΑΠΑ ΚΑΙ ΠΕΡΙ ΤΗΣ ΑΝΑΓΝΩΣΕΩΣ ΤΟΥ ΟΡΟΥ ΤΗΣ ΕΝΩΣΕΩΣ ΕΝ Τῌ ΜΕΓΑΛῌ ΕΚΚΛΗΣΙᾼ

XXXVI 1—3 DUCAS: ISTORIA TURCO-BIZANTINA 315

XXXVI. Οἱ δὲ τῆς Πόλεως, ἔλθωμεν δὴ καὶ ἐπ᾽ αὐτὴν καὶ ἴδωμεν, τίς ἡ φροντὶς αὐτῶν καὶ ἡ μέριμνα τοῦ διασώσασθαι τὴν πόλιν ἐκ χειρὸς τοῦ Ναβουχοδονόσορος. Ὁ βασιλεὺς ἣν στείλας ἐν Ῥώμῃ προλαβών, αἰτῶν βοήθειαν καὶ ὅπως συντεθῶσιν τῇ ὁμονοίᾳ καὶ ἑνώσει τῇ γεγονυίᾳ ἐν Φλωρεντίᾳ καὶ λάβῃ τὸ μνημόσυνον ὁ πάπας ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ· καὶ ὁ πατριάρχης Γρηγόριος ἐπανελεύσεται ἐν τῷ θρόνῳ αὐτοῦ· καὶ μετεκαλεῖτό τινας ἀφικέσθαι τῶν τοῦ πάπα, ὅπως εἰρηνεύσῃ τὴν ἄσπονδον ἔχθραν τοῦ σχίσματος. Ἔστειλε δ᾽ ὁ πάπας τὸν καδδηνάλιον Πολωνίας, τόν ποτε ἀρχιεπίσκοπον Ῥωσίας Ἰσίδωρον, ἄνδρα συνετὸν καὶ σώφρονα καὶ πεπαιδευμένον ἐν δόγμασιν ὀρθοῖς, Ῥωμαῖον τὸ γένος καὶ αὐτὸν ἕνα τῆς ἐν Φλωρεντίᾳ συνόδου ὑπάρχοντα πατέρα τίμιον, ὡς ὁ λόγος φθάσας ἐδήλωσε. Καὶ ἐλθόντος ἐν τῇ νήσῳ Χίῳ μετὰ νηὸς μεγίστης τῶν Γενουιτῶν 253b ἐποίησεν ἡμέρας ἱκανάς, ἕως οὗ οἱ ἔμποροι τῆς νηὸς πραγματεύσωνται καὶ δώσωσι τὰ χρειώδη καὶ λάβωσι τὰ ζητούμενα, ἀναμένοντες καὶ ἑτέραν ναῦν, ἥτις ἔμελλε συμπλέειν ἄχρι Καφᾶ. Ὁ καδδηνάλιος οὖν ἔχων μεθ᾽ αὐτοῦ τῶν Ἰταλῶν ἄχρι πεντήκοντα, ἐρόγευσε καὶ ἑτέρους πλείστους ἐκ τῆς Χίου Λατίνους. Καὶ δὴ φανεῖσα ἡ ἐκδεχομένη παρ᾽ αὐτῶν ναῦς, ἐξῆλθον ἐκ τῆς Χίου καὶ πρὸς Κωνσταντινούπολιν ἔπλευσαν καταντήσαντες ἐν αὐτῇ τὸν Νοέμβριον μῆνα τοῦ, ἑξακισχιλιοστοῦ ἐνακοσιοστοῦ ἑξηκοστοῦ πρώτου ἔτους.

2. Καὶ ὁ βασιλεὺς δεξιῶς ἀποδεξάμενος καὶ τιμήσας, ὡς ἔπρεπεν, ἦλθον εἰς τοὺς τῆς ἑνώσεως λόγους, καὶ εὑρὼν τὸν βασιλέα εἰς τοῦτο κατανεύσαντα καὶ μερικοὺς τῶν τῆς ἐκκλησίας. Τὸ πλεῖστον οὖν μέρος τοῦ ἱερατικοῦ καὶ μοναχικοῦ τάγματος, ἡγούμενοι, ἀρχιμαδρῖται, μονάζουσαι, — τί λέγω τὸ πλεῦστον; παρεκίνησάν με γὰρ αἱ μονάστριαι εἰπεῖν καὶ γράφειν· οὐδεὶς ἐξ ἁπάντων· καὶ αὐτὸς ὁ βασιλεὺς πεπλασμένως κατένευσεν. Πλὴν ἐλθόντες οἱ φαινόμενοι κατὰ τὸ δοκοῦν τῆς ἑνώσεως ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ, ἱερεῖς τε καὶ διάκονοι τῶν τοῦ κλήρου καὶ ὁ βασιλεὺς σὺν τῇ συγκλήτῳ, ἐβούλοντο κοινῇ ὁμονοίᾳ λειτουργῆσαι Θεῷ καὶ ἀποδόσαι τὰς εὐχὰς ἀδόλῳ γνώμῃ.